# ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΟΝΟΜΑΤΟΘΕΣΙΑΝ ΤΟΥ «ΝΟΜΑΡΧΕΙΟΥ»

(ἐπὶ τῇ συμπληρώσει 110 χρόνων ζωῆς καὶ ἱστορίας του)

ΠΕΡΙΦΕΡΕΙΑ ΑΝΑΤΟΛΙΚΗΣ ΜΑΚΕΔΟΝΙΑΣ ΘΡΑΚΗΣ

ΠΕΡΙΦΕΡΕΙΑΚΗ ΕΝΟΤΗΤΑ ΕΒΡΟΥ

(ἐπὶ Ἀντιπεριφερειάρχισσας Γεωργίας Νικολάου-Μαυρανεζούλη)

27 Ἰουλίου 2014

Ὁ τῶν ὅλων Κύριος, Χριστὸς ὁ Θεός, ὁ ἔχων θρόνον οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, ὁ ἐν τῇ ἰδίᾳ δρακὶ διακρατῶν τὰ σύμπαντα καὶ ἐν σοφίᾳ κυβερνῶν τὸν κόσμον, ἐλθὲ καὶ σκήνωσον, Ἀγαθέ, τῇ ἐγκαινιζομένῃ σήμερον ταύτην, ἱστορικὴν τῆς πόλεως ἡμῶν ὑπεραιωνόβιον οἰκοδομήν καὶ «Νομαρχεῖο» αὐτὴν εἰς τὸ διηνεκὲς ὀνοματοδοτεῖν εὐδόκησον. Ὀχύρωσον αὐτὴν εἰς τοὺς αἰῶνας καὶ διατήρησον αὐτὴν ἀσάλευτον, ἀραγῆ ἀκλόνητον καὶ ἀκατάλυτον διὰ παντός. Χαρίτωσον τοὺς ἐμπνευστὰς καὶ τὴν πρωτοβουλίαν ἀναλαβόντας, ἅπαντας τοὺς προθύμως ἄχρι τοῦδε φιλοτίμως συνδραμόντας τὴν ἀνακατασκευὴν καὶ τὸν ἐξωραϊσμὸν αὐτῆς.

Τὰς ἐν αὐτῇ Ἀρχὰς καὶ Ἐξουσίας τῆς Ἐπαρχίας ἡμῶν, εὐλόγησον καὶ ἀνάδειξον τοὺς ἀσκοῦντας αὐτὰς ὡς παρὰ Σοῦ ὄντες τεταγμένοι, πιστῶς καὶ εὐόρκως τὰ ἑαυτῶν καθήκοντα ἐπιτελῶσι καὶ οἱ ἐν αὐτῇ ἰδιῶται καὶ Προϊστάμενοι Ὑπηρεσιῶν προσφεύγοντες, εὑρίσκωσιν οὓς εὐήκοον, ἀνταπόκρισιν ταχεῖαν, ἀντίληψιν πρόθυμον, κρίσιν ἀμερόληπτον καὶ δρᾶσιν λυσιτελῆ εἰς ἱκανοποίησιν τῶν δικαίων αὐτῶν,

ὑπὲρ ἑαυτῶν καὶ ὑπέρ τοῦ λαοῦ Σου ζητημάτων.

Ἐπειδὴ δὲ Κύριε, ἡ πολιτικὴ ἐπιστήμη ἐν ταῖς τέχναις λογίζεται, οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς καλαῖς εὐκταῖον, θείᾳ συνάρσει ἀμφότεραι, εἰς τὴν αὐτὴν οἰκοδομὴν συνοικεῖν ηὐδόκησας.

Ἐπειδήπερ διὰ τῆς διαθλάσεως τοῦ ὑπὸ Σοῦ ἐκλαφθέντος φωτός, ἀπεκαλύφθη τοῖς ἀνθρώποις ὁ πλοῦτος τῶν τῆς ἴριδος ἀποχρώσεων καὶ εἰς εἰκαστικὰς εἰκόνας τὴν αἰσθητικὴν ἀπόλαυσιν παντοειδῶς καὶ πολυτρόπως ἀπετύπωσε, διὰ τοῦτο τὰ ἐνταῦθα ἀποτεθησαυρισμένα ἔργα, καὶ τὰ ὀψέποτε ὧδε ἐκτεθεισόμενα, ἐμφαιδρύναι ἡμᾶς καταξίωσον καὶ ἡ θέα αὐτῶν εἰς ἔπαινον τῶν θαυμασίων Σου ἐκδιηγεῖ καὶ ἐν καινότητι ζωῆς καὶ εὐμορφία τοῦ βίου, τὸν λαόν Σου καθοδηγεῖ.

Τὰ ὑπὸ τῶν δούλων Σου ἐξειργασμένα, εὐστόχῳ ἐπινοήσει, ἐπινεύσει καὶ ἐπιμελείᾳ φιλοτεχνηθέντα, καταξίωσον τὸ ἀγαθὸν καὶ εὐάρεστόν Σοι ἀεὶ καθομολογεῖν καὶ ὡραιότητι ἀνεπιτηδεύτῳ καὶ κάλλει ἀρρήτῳ τὰς ψυχὰς καταστολίζεσθαι καὶ εἰς λειμῶνα πολιτικόν, εἰς εὐνομίαν δημοσιονομικὴν καὶ εἰς πνευματικὴν τοῦ λαοῦ Σου ἀναψυχὴν πάντας ἡμᾶς, τοὺς τὰ πρῶτα φέροντας, ἐργάζεσθαι καθοδήγησον.

Ὅτι πρέπει Σοι...

*(συνετέθη ὑπὸ τοῦ μητροπολίτου Ἀλεξανδρουπόλεως Ἀνθίμου)*